A Κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας,

Οὐδὲν δρῶντας, βόσκουσ᾽ ἀργοὺς ὅτι ταύτας μουσοποιοῦσιν.

ΣΤ. Ταῦτ᾽ ἄρ᾽ ἐποίουν ὑγρᾶν Νεφελᾶν στρεπταιγλᾶν δάϊον ὁρμάν,

Πλοκάμους θ᾽ ἑκατογκεφάλα Τυφῶ, πρημαινούσας τε θυέλλας,

B Εἶτ᾽ ἀερίας διερὰς γαμψοὺς οἰωνοὺς ἀερονηχεῖς,

Ὄμβρους θ᾽ ὑδάτων δροσερᾶν Νεφελᾶν. εἶτ᾽ ἀντ᾽ αὐτῶν κατέπινον

Κεστρᾶν τεμάχη μεγαλᾶν ἀγαθᾶν, κρέα τ᾽ ὀρνίθεια κιχλᾶν.

*Cyclicarum chorearum & cantus flexores, & sublimia si qui*

*Perscrutantur, quibus auditorum animis imponere possint.*

*Pascunt & inertes & nihil agentes: quia ab his celebrantur.*

ST. *Ergò hæc finxerunt, madidarum nebularum versicolorum*

*Immanemque impulsum, cirrosque, stridentesque procellas,*

*In centicipites typhones: tum volucres aëre nantes,*

*Vdas, aërias, uncas: liquidisque ortos Nubibus imbres.*

*Pro his illi frusta biberunt, mugilum tardorumque saliuam.*

Σχόλια. Κυκλίων τε.] αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένην. καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται διθυραμβοποιοὺς χρηματίσαντας. τῶν γὰρ C κυκλίων χορῶν εἰσιν οὗτοι διδάσκαλοι. ᾀσματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἐν ἁρμονίᾳ ὑποτίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς μουσικοὶ καλοῦσι στροφὰς καὶ ἀντιστρόφους, καὶ ἐπῳδούς. διὸ καὶ ἐν τραγῳδίαις τὰ χορικά. ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτὸν μᾶλλον καθάψεται λέγων. εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ᾽ ἢ κάμψειέ τινα καμπὴν, οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων. D Καλλίμαχος δὲ πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω περὶ αὐτῶν καθάπτεται. νόθοι δ᾽ ἦσαν ἀοιδαί. Ἀσματοκάμπτας.] οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο. νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς ᾀσματοκάμπτας. Μετεωροφένακας.] τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας. φρεE νακίζειν γάρ ἐστι τὸ ἀπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει. Μουσοποιοῦσι] ποιητικῇ ὑμνοῦσι. Ταῦτ᾽ ἄρ᾽ ἐποίουν.] λείπει ἡ διά. μιμεῖται δὲ τοὺς διθυράμβους. τὸ δὲ στρεπταίγλαν, εἰς τὸ διεστραμμένον αὐτῶν. τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκολίζουσαν. Νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ, οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησι. ταῦτα δὲ εἰς Φιλόξενον τὸν διθυραμβοποιόν. τὸ γὰρ στρεπταίγλαν αὐτὸς εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν τῶν ἐκείνων ζῆλον καὶ αὐτὸς F τοιαύταις χρῆται. χρῆται δ᾽ οὖν ἄντικρυς παρεξεστραμμένῳ. ἔστι δὲ ἡ γενικὴ τὸ ὑγρᾶν Νεφελᾶν καὶ στρεπταίγλαν. εἴπερ οὕτω γράφεται οὐ πρός τι συνταττόμενον, ἀλλ᾽ οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις. διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἱ δὲ, πρὸς τὸ δάϊον ὁρμὰν, τουτέστι ταχυτάτην, ἑνὸς τὸ πᾶν εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τὸ δροσερᾶν Νεφελᾶν. οἱ δὲ στρεπταίγλαν πρὸς τὸ ὑγρᾶν Νεφελᾶν.

BISET. Σουίδας δ᾽ ἔχει στρεπταίγλαν παροξυτόνως, καὶ μετὰ τὸ ὁρμὰν συνάπτει, καὶ τοῦτο τοῦ στίχου μνήμην ποιεῖται οὕτως αὐτὸ ἑρμηνεύων. τοῦτο (φησὶ) Φιλόξενος ὁ διθυραμβοποιὸς εἶπεν. ἐπεὶ οὖν συνθέτοις, καὶ πολυπλόκοις G οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσι, κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. δηλοῖ οὖν ἄντικρυς τὸ ἐξεστραμμένον διὰ τὴν ἀηδίαν τούτων τῶν ἐν τοῖς συνθέτοις. στρεπταίγλαν δὲ, τὴν στρέφουσαν τὴν αἴγλην, καὶ ἀφανίζουσαν. δήϊον δὲ ὁρμὰν ἀντὶ τοῦ. διὰ τὴν δήϊον ὁρμὴν, τουτέστι βιαίαν, σφοδράν. δάϊος, καὶ δήϊος κατὰ τροπὴν τοῦ α εἰς η. παρὰ τὸ δαίω, τὸ καίω, κόπτω, κακῶ. δήϊος, ὁ καυστηρὸς, ὁ πολεμικὸς, ὁ ὁρμητικός. Ἑκατογκεφάλα Τυφῶ] Εὐστάθιος. Τυφὼν, δαίμων τις γιγαντικὸς ἑκατογκέφαλος πλαττόμενος, ὃς ἀντίπαλος τῷ Διῒ Ἥρας βουλῇ ὑπὸ τῆς γῆς ἀναδοθεὶς, καὶ κατακεραυνωθεὶς ὑπὸ τοῦ Διὸς τῇ Σικελικῇ Αἴτνῃ ὑποκαταβληθῆναι μυθεύεται, ὅθεν ἀναδίδοσθαι τὰ ἐκεῖ πυρὰ, καὶ εἰς θερμὸν ὑπόγειον πνεῦμα ἀλληγορεῖται ὁ Τυφὼν, ὅθεν καὶ παρὰ τὸ τύφειν, τὸ καίειν λέγεται. τὸ δὲ περὶ τῶν κεφαλῶν μυθολόγημα ὑπαγορεύει τὸν Τυφῶνα, ἀρχικόν τινα, καὶ πολυΐστορα ἄνθρωπον γεγονέναι. Ἡρόδοτος ὡς βασιλέως μέμνηται τοῦ Τυφῶνος, λέγεται δὲ καὶ Τυφὼν, D καὶ Τυφῶς, μετὰ τοῦ σ περισπωμένως, καὶ Τυφάων, καὶ Τυφωεὺς, καὶ ἐκ τοῦ Τυφάων, τὸ Τυφῶν κέκραται, καὶ τοῦτο μόνον (σημείωσαι καὶ πρὸς τούτῳ λέγεσθαι, Ποσειδῶν Ποσειδῶνος) τῶν εἰς ων περισπωμένως ληγόντων, διὰ τοῦ ντ, οὐ κλίνεται. καὶ Τυφῶς διὰ τοῦ σ ἀεὶ διὰ τοῦ ω μεγάλου γράφεται. Ἡσίοδος Θεογονίᾳ,

Ὁπλότατον τέκε παῖδα Τυφωέα γαῖα πελώρη

Ταρτάρου ἐν φιλότητι, διὰ χρυσῆν Ἀφροδίτην.

Οὗ χεῖρες μὲν ἔασιν ἐπ᾽ ἰσχύϊ, ἔργματ᾽ ἔχουσαι,

Καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ. ἐκ δέ οἱ ὤμων

E Ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος. καὶ τὰ ἑξῆς.

Τινὲς δὲ ἐν τῇ κατακεκαυμένῃ τῆς Μυσίας χώρᾳ πλάττουσι γεγονέναι τὰ κατὰ τὸν Τυφωέα. οἱ δὲ, ἐν τῇ Κιλικίᾳ, καὶ ἄλλοι ἀλλαχοῦ, ὧν τινες καὶ δράκοντα γεγονέναι τὸν Τυφωέα μυθεύουσιν, εἶτα εἰς ποταμὸν μεταβληθῆναι. ἰστέον δὲ ὅτι ἐν τῷ Τυφῶν, ἢ Τυφῶς, ἡ πρώτη συλλαβὴ ἐκτείνεται. ἐν δὲ τῷ Τυφωεὺς, βραχύνεται. ἑκατογκεφάλα δὲ δωρικὴ γενική ἐστιν ἀπὸ τοῦ ἑκατογκεφάλας, ὃς καὶ ἑκατογκέφαλος, ου. λέγεται. διεφθαρμένως δὲ ἔν τισι τῶν ἀντιγράφων γέγραπται ἑκατοντακέφαλα.

F Σχόλια. Πρημαινούσας τε θυέλλας.] τουτέστι συστροφὰς ἀνέμου. πρημαινούσας δὲ ἀντὶ τοῦ μαινομένας καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι. Γαμψοὺς οἰωνούς.] ἤτοι τὰς καμπτούσας καὶ πλαγίους Νεφέλας. ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν καὶ αὐτὸς τῷ γαμψοὺς οἰωνοὺς ἐπήγαγεν. Ὅμηρος. οἰωνοῖσί τε πᾶσι. Ἀερονηχεῖς[ τὰς ἐν τῷ ἀέρι νηχομένας. παρόσον ἐν αὐτῷ νήχεται τὰ ὄρνεα· ἢ διὰ τὸ ἐκείνων ὀρνέων ἵπτανται αἱ Νεφέλαι. ταῦτα δὲ πάντα ἐκ τινων ποιητῶν εἰσιν ἄλλο ἄλλου γράψαντος. καὶ τὸ μὲν τοῦτο G τοῦ δὲ ἐκεῖνο. Εἶτ᾽ ἀντ᾽ αὐτῶν] τουτέστιν ἀντὶ τούτων ὧν ἐποίουν εἰς τὰς Νεφέλας, διὰ τοῦτο ἤσθιον τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια κρέα. Κεστρᾶν τεμάχη.] ἰστέον ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν. αἱ κεστρέαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν. οἱ δὲ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους.

N